*σπείσαντες οὖν Μούσαις καὶ Ποσειδῶνι καὶ Ἀμφιτρίτῃ διαλύωμεν εἰ δοκεῖ τὸ συμπόσιον.'*

*'Τοῦτ' ἔσχεν, ὦ Νίκαρχε, πέρας ἡ τότε συνουσία.'*

## 14.

E

# ΠΕΡΙ ΔΕΙΣΙΔΑΙΜΟΝΙΑΣ

(Plan. 21)

**1.** *Τῆς περὶ θεῶν ἀμαθίας καὶ ἀγνοίας εὐθὺς ἐξ ἀρχῆς δίχα ῥυείσης τὸ μὲν ὥσπερ ἐν χωρίοις σκληροῖς καὶ ἀντιτύποις ⟨τοῖς⟩ ἤθεσι τὴν ἀθεότητα, τὸ δ' ὥσπερ ἐν ὑγροῖς καὶ ἁπαλοῖς τὴν δεισιδαιμονίαν ἐμπεποίηκεν. ἅπασα μὲν οὖν κρίσις ψευδής, ἄλλως τε κἂν ᾖ περὶ ταῦτα, μοχθηρόν· ᾗ δὲ καὶ πάθος πρόσεστι, μοχθηρότερον. πᾶν γὰρ πάθος ἔοικε πληγὴ*
F *φλεγμαίνουσα εἶναι· καὶ καθάπερ αἱ μετὰ τραύματος ἐκβολαὶ τῶν ἄρθρων, οὕτως αἱ μετὰ πάθους διαστροφαὶ τῆς ψυχῆς χαλεπώτεραι. ἀτόμους τις οἴεται καὶ κενὸν ἀρχὰς εἶναι τῶν ὅλων· ψευδὴς ἡ ὑπόληψις, ἀλλ' ἕλκος οὐ ποιεῖ οὐδὲ σφυγμὸν οὐδ' ὀδύνην ταράττουσαν. ὑπολαμβάνει τις τὸν πλοῦτον ἀγα-*
**165** *θὸν εἶναι μέγιστον· τοῦτο τὸ ψεῦδος ἰὸν ἔχει, | νέμεται τὴν ψυχήν, ἐξίστησιν, οὐκ ἐᾷ καθεύδειν, οἴστρων ἐμπίπλησιν, ὠθεῖ*